ΤΑ. ἐξαίρετόν νιν ἔλαβεν Ἀγαμέμνων ἄναξ.
ΕΚ. ἦ τᾷ Λακεδαιμονίᾳ νύμφᾳ δούλαν;
ἰώ μοί μοι.
ΤΑ. οὔκ, ἀλλὰ λέκτρων σκότια νυμφευτήρια.
ΕΚ. ἦ τὰν τοῦ Φοίβου παρθένον, ᾇ γέρας ὁ
χρυσοκόμας ἔδωκ' ἄλεκτρον ζόαν;
ΤΑ. ἔρως ἐτόξευσ' αὐτὸν ἐνθέου κόρης.
ΕΚ. ῥῖπτε, τέκνον, ζαθέους
κλῇδας καὶ ἀπὸ χροὸς
ἐνδυτῶν στεφέων ἱεροὺς στολμούς.
ΤΑ. οὐ γὰρ μέγ' αὐτῇ βασιλικῶν λέκτρων τυχεῖν;
ΕΚ. τί δ' ὃ νεοχμὸν ἀπ' ἐμέθεν ἐλάβετε τέκος [ποῦ μοι];
ΤΑ. Πολυξένην ἔλεξας, ἢ τίν' ἱστορεῖς;
ΕΚ. ταύταν τῷ πάλος ἔζευξεν;
ΤΑ. τύμβῳ τέτακται προσπολεῖν Ἀχιλλέως.
ΕΚ. ὤμοι ἐγώ· τάφῳ πρόσπολον ἐτεκόμαν.
ἀτὰρ τίς ὅδ' ἢ νόμος ἢ
τί θέσμιον, ὦ φίλος, Ἑλλάνων;
ΤΑ. εὐδαιμόνιζε παῖδα σήν· ἔχει καλῶς.
ΕΚ. τί τόδ' ἔλακες; ἆρά μοι ἀέλιον λεύσσει;
ΤΑ. ἔχει πότμος νιν, ὥστ' ἀπηλλάχθαι πόνων.
ΕΚ. τί δ' ἁ τοῦ χαλκεομήστορος Ἕκτορος δάμαρ,
Ἀνδρομάχα τάλαινα, τίν' ἔχει τύχαν;
ΤΑ. καὶ τήνδ' Ἀχιλλέως ἔλαβε παῖς ἐξαίρετον.
ΕΚ. ἐγὼ δὲ τῷ πρόσπολος ἁ τριτοβάμονος χερὶ
δευομένα βάκτρου γεραιῷ κάρᾳ;
ΤΑ. Ἰθάκης Ὀδυσσεὺς ἔλαχ' ἄναξ δούλην σ' ἔχειν.

---

249 ἄναξ] γέρας Nauck 250 ἦ *BN* ˜ super ` scr. $B^2N$ | νύμφη *P* 254 ζόαν] Seidler, ζωάν libri 255 κούρης *BN* 257 κλῇδας *P*, κλειῖδας *O*, κλάδας J. Stanley | καὶ om. *C* 259 αὐτὴ *B*, αὐτὴν *H* 260 τί δ' ὃ] Tyrwhitt, τί δὲ τὸ *BC*, τί δὲ τὸν *NP* | ἀπεμέθεν *B*, ἀπεθέμεν *N* | ἔλαβε *N* | ποῦ μοι delevit Dindorf 263 ταύτην *O*, delet cum Burgesio Dindorf | ἔζευξε *O* 264 ἀχιλέως *B* 265 οἴμοι *BN* 266 ὅδ' ἦν *P* 267 τί om. *P* 268 ἔχει mut. in ἔχειν *B*, ἔχειν *CN* 269 fort. ἔλακες ἔλακες; 269 sq. delet E. Bruhn 270 πόνων *O*, κακῶν *P* 271 ἁ] Dindorf, ἡ libri | χαλκεομήστορος] Burges, χαλκεομήτορος *O*, χαλκεομίτορος *P* 272 ἀνδρομάχη *BCP* 273 καὶ τήνδ'] ταύτην Herwerden 275 τριτοβάμονος *P*, τριβάμονος *O* | χερὶ *H*, χειρὶ *OP* 276 δευομένᾳ *B*, δουλευομένᾳ *N* 277 Ἴθακος Nauck | σ' erasum in *P*